ρον ἀγνώσης μεταβολῆς, μετὰ πολλῆς σπουδῆς ἀνασώσει
l. δὲ προδεδώκασι τὴν φύσιν καταπεπῶσθαι τῷ παραπτώματι.
Ἐπιστράφηθι δὴ καὶ πρὸς τοὺς ἐκ τοῦ αὐτοῦ πατρὸς δύο
πεφυκότας παῖδας. ὧν ὁ νεώτερος τὸν πατρικὸν οὐκ
ἐλάττω τοῦ πρεσβυτέρου λαβὼν κλῆρον, εἰς χώραν μὲν
ἄπεισι μακρὰν, καὶ τὴν τοσαύτην οὐσίαν κατασπαθήσας
τε καὶ κατασπαταλήσας τῇ ἀποδημίᾳ ἐπ' ἐνδείᾳ τῇ ἀν-
περβλήτῳ χοίρων τροφὴν προσεφέρετο τὰ κεράτια. Τίς
οὐ τῇ πλάνῃ τῇ τοσαύτῃ στάλαξειε δάκρυον; Ὁ τηλικαύ-
της κύριος περιουσίας, μισθαρνίας ἔκδοτος, καὶ χοίρων
τροφῇ τὴν ἀνάγκην κλέπτων τῆς φύσεως, εἶτα τῆς
κάθεσι καὶ τῷ λιμῷ μεταδιδαχθεὶς τὸ ὀλίσθημα, ἐπανέρ-
χεται πρὸς τὸν πατέρα, καὶ συντετριμμένῃ καρδίας τὴν
μετάνοιαν προχεάμενος, ὢ τῆς περὶ ἐμὲ πολλῆς τοῦ πα-
τρὸς καὶ δεσπότου φιλανθρωπίας! πλείονος ἢ κατὰ συγ-
γνώμην ἀξιοῦται δεξιώσεως. Ὁ γὰρ πατὴρ τὸν νεωτερι-
σμὸν οὐκ ὀνειδίζει, οὐδὲ τὴν πλάνην αἰσχύναις προάγει, οὐδ' ὅτι
τῆς λιμοῦ μᾶλλον, ἢ τῆς γνώμης ἐστὶν ἡ ἐπιστροφή. ~~οὐδὲ~~
Οὐδὲν τούτων εἰς τὸν ἐξημαρτηκότα ἀπορρίπτει. Ἤδει γὰρ αὐτοῦ
γέννημα εἶναι τὸν προσελθόντα, κἂν ἀλλοτρίαις ἐπισπο-
ραῖς ἐνοθεύετο, καὶ τῆς αὐτοῦ φιλανθρώπου προαγωγῆς, ἀλ-
λ' οὐχ ἑτέρας ποθὲν νεωτεριζούσης καταβολῆς, μηδενὶ δὲ
τῶν λυπούντων προδιατιθέμενος, μηδ' ἐπιβαλὼν ἄλγημα
τῆς πολυχρονίας τοῦ παιδὸς ἀλγήμασιν, (εἴθ' ὥσπερ σὺ
τῆς πλάνης, οὕτω καὶ τῆς ἐπιστροφῆς καὶ τῆς ἀποδοχῆς
κοινωνήσαιμι!) ἀλλ' οὖν ὁ φιλάνθρωπος καὶ ἀγαθὸς πατὴρ
ἔτι πόῤῥω καὶ διὰ μόνης τῆς μετανοίας ὁρῶν προσερχόμενον

καρ-

http://digital.slub-dresden.de/ppn345414306/351